κἀν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται·
σφαγαὶ δ' ἔχουσιν εὐγενές τι καὶ καλόν,
σμικρὸς δ' ὁ καιρὸς σάρκ' ἀπαλλάξαι βίου.]
ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν.
ΧΟ. Ἑλένη, τὸν ἐλθόνθ', ὅστις ἐστὶν ὁ ξένος,
μὴ πάντ' ἀληθῆ δοξάσῃς εἰρηκέναι.
ΕΛ. καὶ μὴν σαφῶς γ' ἔλεξ' ὀλωλέναι πόσιν.
ΧΟ. πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν σαφῆ.
ΕΛ. καὶ τἄμπαλίν γε τῶνδ' ἀληθείας ἔπη.
ΧΟ. ἐς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρῃ.
ΕΛ. φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει.
ΧΟ. πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;
ΕΛ. πάντες φίλοι μοι πλὴν ὁ θηρεύων γάμους.
ΧΟ. οἶσθ' οὖν ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν—
ΕΛ. ἐς ποῖον ἕρπεις μῦθον ἢ παραίνεσιν;
ΧΟ. ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντ' ἐπίσταται,
τῆς ποντίας Νηρῇδος ἐκγόνου κόρης,
πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ' ἔστ' ἔτι
εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένῃ γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ·
τάφον λιποῦσα τόνδε σύμμειξον κόρῃ
ὅθενπερ εἴσῃ πάντα· τἀληθῆ φράσαι
ἔχουσ' ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;
θέλω δὲ κἀγὼ σοὶ συνεισελθεῖν δόμους